Georg Elius:


Γαμηλιον honori Pauli Poppii

Smede

cum Elsa thor Straten consecratum.

Hamburgi. u. A. 1595











45,–163.

DA BOX





ΓΑΜΗΛΙΟΝ.

HONORI.

ORNATISSIMI JUVENIS PAULLI POPPII.

CUM

ELSA OMNI DOTE EGREGIA VIRGINE,

Ampliſsimi & Prudentiſsimi Viri,

Dn. REINHOLDI TORSHMEDEN, Flenſburgenſium Reip. Senatoris quondam digniſsimi, filia, nuptias celebrantis,

Conſecratum à
Georgio Clio Flensb. Holſat.

HAMBURGI.
Theodoſius VVolderus.

Amico suo suavissimo Joac



ΓΑΜΗΛΙΟΝ.

Dn. PAULO POPPIO ET ELSAE TOR SCHMEDEN.



Empus erat, quo prima quies mortalibus ægris
Incipit, & terris candida luna micat:
Meq; soporifero ponentem membra grabato,
Languentem dulcis pressit & alta quies.
Ecce papaverei quiddam sub imagine somni
Vidi; sed somno clarius illud erat.
Namque subobscuro mihi visus Apollo nigrore
Ante oculos præsens obvolitare meos:
Tum pepulit radiis quodcunq; obstabat amœnis,
Cessit & omne, Deo discutiente, chaos.
Subticui, caput haud ausus sustollere ad auras,
Expecto cupidus quid velit ipse loqui.
Ille verecundo dum me videt ore tacentem,
Auriculam prendens vellicat ecce meam.
Heus me cur, inquit, cur compellare vereris?
Quid nostros surda respuis aure sonos?
Surge age, surge inquit, totamque huc dirige mentem,
Gaudia legitimi sunt celebranda tori.
Sponsus enim PAULUS, qui nomine fertur avito
POPPIUS, en thalami fœdera sancta subit:
Fœdera sancta subit, votis quam sæpe petivit
ELSA, puellaris gemma decusque chori:
Cypria cui faciem, mores sacra Juno pudicos,
Egregium Pallas pectus habere dedit.
SCHMEDENIO gaudet priscæ cognomine gentis;
REINHOLDI patris hinc nomen honosq; viget:

 Quem

Quem mirantur adhuc Pietas, Prudentia, Candor,
Relligio, Bonitas, Justitia, alma Fides.
Sponsa ex hoc LIGNO ramus: qui germina fundet
Grata futura solo, grata futura polo.
Non etenim invalidas avium regina columbas
Parturit: haud profert scylla marina rosam:
Sed virtus patrum in sobolem cum semine transit,
Nec procul à viridi stipite poma cadunt.
Ergo refer breviter thalami quæ causa, quis autor,
Qua sponsos deceat vivere lege novos.
Hæc postquam blando fuerat sermone locutus,
Talia depromens pectore dicta dedi;
Quid me Phœbe jubes facere, aut quò tendere gressu?
Gaudia vis thalami me celebrare novi?
Non somnum capio Parnassi in monte, nec undas
Castalii fontis poto, sed Albis aquas:
Sunt mihi raucisono stridentia carmina plectro,
Et tenuis surdo murmure vena data est.
Clauserunt placidæ Dirceia flumina Musæ,
Qui possim dignum ludere quæso melos?
Ne mandata tamen videar tua spernere Apollo,
Neve ferar Sponsi non memor esse novi,
Incipiam, quamvis ego garrulus inter olores
Argutos strepitem corvus & anser iners:
Tu tamen ô facilis mecum percurre laborem,
Balba vacillantis tu rege plectra lyræ.
Ille autem: pone hanc curam, & mea jussa facesse:
Incipe, perficies: mecum erit iste labor.
Dixerat: & sonitus blanda cum voce recessit,
Inq; levem volitans aëra præpes abit.
Ergo me, nove Sponse, animo gratissime nostro,
Gratandi hanc voluit Phœbus obire vicem.
Res ea vatis opus, fateor, cultiq; Poëtæ est,
Nec tamen officio res aliena meo.

Officium quodcunq; meum non carmina jacto,
Quæ bona si nequeam condere, velle sat est.
Tu tamen hæc Paule ô, rerum spes magna mearum,
Accipies grata quantulacunq; manu,
Quæ tenui filo rudibusq; notata Camœnis
Indelibatus mittere jussit amor.



ΤΟΙΣ ΑΥΤΟΙΣ.


Συζυγίης οὐδὲν σεμνῆς κρεῖσσον καὶ ἄρειον,
Ταύτης γὰρ πέλεται Θεὸς αἴτιος ἠδὲ σαωτὴρ,
Ὠφελίμων δωτὴρ δώρων ὡς ἐστὶν ἁπάντων·
Ποικίλα καὶ θεόθεν πέλει ἄμμι χαρίσματα, ἀλλ
Συζυγίη θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος.
Ὥσκεν καὶ γὰρ ἔτευξε πατὴρ ἀνδρῶν τε θεῶν τε
Δώματα ἀθανάτων τε κάρη νιφόεντος ὀλύμπου,
Ἀστρά τε λαμπετόωντα, τάτ᾽ οὐρανὸς ἐστεφάνωται,
Ηελιόν τε χρυσοστέφανον, λαμπράν τε σελήνην:
Ηδὲ καὶ ἀτρύγετον πέλαγος, γαῖάν τε πελώρην,
Ἠεροφοίτους οἰωνοὺς καὶ ἔλλοπας ἰχθῦς,
Οὔρεα φυαστήεντα, φέροντά τε δένδρεα καρποὺς,
Πάντα τε ἄπνοα, καὶ πνείοντ᾽ ἐν κόσμῳ ὅσ᾽ ἐστὶν:
Δὴ τότε ἄνθρωπον ποίησ᾽ ἐπὶ κτίσμασι πᾶσιν,
Ὃς πάντων ἄρχῃ μεγάλου ἰότητι Θεοῖο,
Καὶ πάντων μετέχῃ ἀγαθῶν Θεοῦ ἱμεροέντων,
Παντοκράτωρ δ᾽ ἴδεν Θεὸς εὐρυχόρῳ ἐνὶ κόσμῳ
Συμφέρον οὐκ ἔμεναι μοῦνον τόνγ᾽ ἀνέρα πράττειν:
Οὐ καλὸν, ἄνθρωπον, γενετὴρ ἔφη, ἔμμεναι οἶον.
Ὥστε βοηθὸν ἔχῃ τὴν στήτην δώσομεν αὐτῷ.
Καρπαλίμως οὖν καὶ ἔχε νήδυμος ἀνέρα ὕπνος·
Ηδὲ Ἀδὰμ πατρὶ ἡμετέρῳ τῷ ἀρχιγενέθλῳ
Ὑψιμέδων ὁ Θεὸς παρέδωκε Εὔαν παράκοιτιν.
Εἰσοράων δὲ Ἀδὰμ, πολυήρατον εἶδος ἔχουσαν

Τὴν παράκοιτιν Εβὰν, Θεὸν ἤνεε καλλίμῳ αὐδῇ
Θαυμάζων, καὶ αὐτῷ ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Ως ἄρα φωνήσας τοίην ἐφθέγξατο φωνὴν:
Σὰρξ ἐκ σαρκὸς ἐμοῦ, καί μου ἐξ αἵματος αἷμα
Τοῦτο πέλει, κείνη ἄλοχος περί μου ἔχει ἀρχήν.
Νῦν σύγχαιρε ἐμοὶ, εἶπεν, ζείδωρος ἄρουρα,
Ουρανὸς ἀστερόεις, καὶ εὐρέα νῶτα θαλάσσης.
Θηρία ἠδὲ ἅπαντα, ἐπὶ χθονὶ ναιετάοντα.
Τούτοις μύθοισιν κεδνὴν προσέφη δὲ ἄκοιτιν.
Γηθήσας μέγ' ἐνὶ φρεσὶ· κουριδίη ἐρόεσσα
Νῦν νῦν χαῖρε νόῳ, μεγὰ εὔφρονα θυμὸν ἔχουσα,
Σφιγξαμένη μ' ἐπέεσσι προσαύδα μειλιχίοισι.
Τοὔνεκα τὸν γενετῆρα φίλον καὶ μητέρα κεδνὴν
Ανθρωπος λείψει, στέρξει καὶ κῆρι ἄκοιτιν
Ενδυκέως σεμνήν. καὶ ἀνδρὶ παραίφασις ἔσται.
Αλλά τε συζυγίην Θεός ὡς τὰ ἅπαντα κυβερνῶν
Στέργῃ, ἔνθα καὶ ἔνθα δίδασκ' ἐνδείγμασι πολλοῖς,
Ἀνδρομέοιο γένους σωτὴρ σὴν μητέρι κοσμεῖ
Τὸν γάμον οὐτιδανὸν Καναναίῳ ἐνὶ πτολιέθρῳ,
Ηδὲ ἑὴν δύναμιν δηλοῖ καὶ θαύματ' ἀγαυῷ.
Αλλ' ἔτι καὶ ὁ Θεὸς δίδοται καλὰ πάντα συνεύνοις,
Καὶ χειρὶ κρατερῇ κηρὸς κακὰ πάντα ἀμύνει.
Πῶς δέ γε μιχθέντας φιλότητι καὶ εὐνῇ ἀθέσμῳ
Παντοκράτωρ μισέῃ, πάμπαν γεγραμμένον ἐστιν
Εἰν βίβλοις ἁγίῃς, καὶ ψαλμοχαρὴς ὁ προφήτης
Μάρτυρ', ἀσελγείᾳ καὶ θελγήτροισι πονηροῖς
Ω ἦ ἀναγκαῖον φεύγειν τὴν πατρίδα γαῖαν.
Μαρτυρέει Σοδόμων ἀσεβὴς πόλις ἠδὲ Γόμορρα,
Ων Θεὸς ὑψιμέδων πυρὶ ἄγλαον ἄστυ ἔπερσε,
Οὐ γὰρ σχέτλια ἔργα πατὴρ ὃς ὑπέρτατα ναίει
Δώματα, ἀλλὰ φιλεῖ ἀνθρώπων αἴσιμα ἔργα.
Τρὶς μάκαρ οὖν πέλεται καὶ τετράκις, ὅστις ἑκόντι
Τοῦ μεγάλοιο Θεοῦ ἐπακούων, ἤθεα φεύγει
Ουλομένου κόσμου, καὶ συζυγίην ἀγαπάζει.


Ὃς φίλος ἐστὶ βροτοῖς, φίλος οὐρανίοις τε θεῷ τε.

Τοίνυν χαῖρ' ὦ Παῦλε τεὴ μέγα νύμφιε νύμφη,
Βελτίστη χάρις ἐστὶ θεοῦ, ἣ κάλλει νικᾷ
Κουριδίας πολλὰς, πολυήρατον εἶδος ἐχούσας.
Καί σοι συγχαίρω νύμφης τῆς ἐξοχ' ἀρίστης,
Νύμφην εὐστέφανον, κούρην ἑλικώπιδα, στέργε
Θυμῷ καὶ κραδίῃ, ὁ θεός γὰρ τοῦτο κελεύει.
Ἣ δύναταί σε λόγοις τοῖς αἱμυλίοισι φιληδεῖν.
Εἰ φρεσὶ πένθος ἔχεις, λῷστόν σοι φάρμακον ἔσται
Νύμφη: ἥδε νόῳ τέρψει καὶ ἐπίφρονι βουλῇ.

Νυμφαίῳ τοίῳ καὶ νύμφη εὐπατέρεια
Χαῖρε, καὶ οὐκ ἐπάκουε, τροφοῦ δ' ἐπιλήθεο πάμπαν,
Κῆρί τε ἐνδυκέως στέργ' ἀνέρα, ὥς τε σεαυτήν.
Ἐσθλοδότης γὰρ ἔδωκ' αὐτόν σοι δῶρον ἀγαυὸν
Παμμεδέων, φίλος ὃς πέλει ἀθανάτοισι βροτοῖς τε.
Ὃν δὴ ἔχειν μέμαεν φίλος ἐν στήθεσσιν ὁ θυμὸς,
Τοῦτόν σοι μελέτω τιμᾶν νύκτας τε καὶ ἦμαρ.
Καὶ ὥσπερ σφέτερον φιλέεσκε τὸν ἀνέρα Σάῤῥα
Κεδνὴ: ἡ πολιοκροτάφου δάμαρ ἦν Ἀβραάμου.
Οὕτω ἥδε τεὸν φίλει ἄνδρ' ἐκ θυμοῦ ἅπαντος.

Ὑστάτιον θεῷ ἀϊδίῳ τῷ ἄνακτι ἀνάκτων
Εὔχομαι, ὡς γάμος εὐδαίμων τε καὶ ὄλβιος εἴη,
Νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ δεινοῖο πόνοιο.
Φρουρείτω λέχος ἡμέτερόν θ' ὁμόνοια εὔφρων.
Οὐδὲν γὰρ τελέθει μὴ ἡδύτερον καὶ ἄρειον,
Ἤ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
Ἀνὴρ ἠδὲ γυνή. μηδ' ἐμπέσῃ ἀνδίχα νεῖκος
Υ̓́μμιν ἔρως μελέτω, ἀθέοις ἀνέρεσσιν ἄπιστιν
Καρτερόθυμος ἔρις: τε γυνὴ πολὺ φίλτατα τέκνα
Τικτέτω αἰδοίη, ἃ γάμου ἀγαθώτατα λέκτρα.
Ποιείτω θ' ὑμᾶς θεὸς ἐν γαίῃ πολύολβα
Ἤματα λεύσσασθαι, δεινῶν ἔκτοσθεν ἁπάντων,
Εἶτά τε κληρονόμους τῆς ζωῆς ἀϊδίοιο.

Τοῦτο ἐγὼ ὑμῖν, νυμφῶν καὶ πότνια νύμφη,
Εὔχομαι οὐρανόθεν, θεὸς εὐχῶν κλῦθι θεουδῶν.


BIBLIOTHECA REGIA
HAFNIENSIS

